# TEZAUR LITURGIC

## 1 AUGUST

ANTONIOS MARKOU

# SLUJBA SF.MUCENIȚE CASANDRA DE LA TRAPEPEZUNT

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 1 Αὐγούστου
# Ἀκολουθία Νεομάρτυρος ΚΑΣΣΑΝΔΡΑΣ τῆς Τραπεζουντίας

**Ποίημα Ἀντώνιος Μάρκου**

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια τοῦ Σταυροῦ γ΄καί τῆς Ἁγίας γ΄.

Τοῦ Σταυροῦ. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς κοινόν φυλακτήριον,* ὡς πηγήν ἁγιάσματος,* τόν Σταυρόν τόν Τίμιον ἀσπασώμεθα·* καί γάρ κοιμίζει παθήματα* καί παύει νοσήματα* καί παντοίων ἀλγεινῶν* ἀπαλλάττει τούς κάμνοντας,* ὑπέρ ἄβυσσον* πελαγίζων τά ῥεῖθρα τῶν θαυμάτων,* τοῖς πιστῶς αὐτοῦ τόν τύπον* καί προσκυνοῦσι καί σέβουσιν.

Οἱ τοῦ βίου τοῖς κύμασι* θαλαττεύοντες ἄνθρωποι* παθημάτων ζάλῃ τε κυμαινόμενοι,* ὡς εἰς ὁλκάδα σωτήριον,* εἰς Ξύλον τό Τίμιον* καταφύγωμεν πιστῶς* καί σιγήσει τά κύματα* καί τά πνεύματα* καί ῥαγήσεται πάθη καί πρός ὅρμον* ἀκυμάντου σωτηρίας,* χαρμονικῶς καταντήσωμεν.

Ὑπέρ ἥλιον ἔλαμψεν* ὁ Σταυρός ὁ Πανάγιος,* ὡς ἀκτῖνας θαύματα προβαλλόμενος* καί ὡς βολίδας ἰάματα·* προσέλθωμεν ἄνθρωποι,* οἱ τῷ σκότει τῶν δεινῶν* συνεχόμενοι πάντοτε* καί ληψόμεθα* φωτοπάροχον χάριν ἰαμάτων,* τόν ἐν τούτῳ προσπαγέντα* σαρκί Θεόν μεγαλύνοντες.

Τῆς Ἁγίας. Ὁ αὐτός. Ὅμοια.

Ὡς ἀστὴρ φαεινότατος* ἐκ τοῦ Πόντου ἀνέτειλας, ὦ Κασσάνδρα ἔνδοξε,* καὶ ἐφώτισας* ἐζοφωμένας τοῖς πάθεσιν* καρδίας καὶ ἔσωσας* ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ* τοὺς ἐκ πόθου τιμῶντας σε·* διά τοῦτό σε* ὁ τῶν ὅλων Δεσπότης θαυμαστώσας,* τῶν Μαρτύρων τῇ χορείᾳ* περιφανῶς σὲ ἠρίθμησε.

Τραπεζοῦντος τὸ βλάστημα* καὶ λαμπρόν σεμνολόγημα* καὶ τοῦ Πόντου ἔνθεον* ἐγκαλλώπισμα,* ἀσματικῶς ἀνυμνοῦμεν σε,* Κασσάνδρα πανεύφημε·* τῆς μὲν γόνος γὰρ σεπτός* καὶ πολύτιμος στέφανος* ὤφθης, πάνσεμνε·* τοῦ δέ Πόντου προστάτις ἀνεδείχθης·* διό ἡμεῖς σὲ ἀνυμνοῦμεν* καὶ πρέσβυν νῦν προβαλλόμεθα.

Τὴν ἁγίαν σου ἄθλησιν,* Νεομάρτυς ἀοίδιμε,* τῶν πιστῶν οἱ σύλλογοι* μακαρίζομεν* καὶ τὴν ἁγίαν σου λάρνακα* συντρέχοντες πάντοτε* προσκυνοῦμεν ἐν αὐτῇ* τὸ πανάγιον σκῆνος σου* καὶ δεόμεθα* μὴ ἐλλείπης, Κασσάνδρα, τοῦ πρεσβεύειν* τῷ Κυρίῳ ὑπὲρ πάντων* τῶν ἐξαιρέτως τιμώντων σε.

Δόξα. Τῆς Ἁγίας. Ἦχος β΄.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοὶ* τὴν Νεομάρτυρα τοῦ Κυρίου* καὶ ἐν ὕμνοις αὐτήν ἐγκωμιάσωμεν λέγοντες·* χαίροις τῶν Μαρτύρων ἡ καλλονή* καὶ τοῦ Παραδείσου ἐπάξιος κληρονόμος·* χαίροις, ὅτι ἐθριάμβευσας τοῖς ἄθλοις σου* τὴν βέβηλον πλάνην τῶν Ἀγαρηνῶν* καὶ μαστιζομένη ἀφειδῶς* ἐπεκαλέσω τὴν βοήθειαν τοῦ Κυρίου, κατά τοῦ μαστίζοντος ἐχθροῦ·* διὸ καὶ ἡμεῖς εὐφημοῦμεν σε* καὶ δεόμεθα σου, πάνσεμνε,* ἵνα πρεσβεύῃς ἀδιαλείπτως* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τοῦ Σταυροῦ. Ἦχος πλ. δ΄.

Ὅνπερ πάλαι Μωϋσῆς,* προτυπώσας ἐν ἑαυτῷ,* τόν Ἀμαλήκ καταβαλὼν ἐτροπώσατο* καί Δαβίδ ὁ μελωδός,* ὑποπόδιόν Σοι βοῶν,* προσκυνεῖσθαι διετάξατο,* Τίμιον Σταυρόν Σου Χριστέ ὁ Θεός,* σήμερον ἁμαρτωλοί προσκυνοῦμεν,* χείλεσι ἀναξίοις,* Σέ τόν καταξιώσαντα παγῆναι ἐν αὐτῷ,* ἀνυμνοῦντες δεόμεθα·* Κύριε,* σύν τῷ Ληστῇ τῆς Βασιλείας Σου* ἀξίωσον ἡμᾶς.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα (τοῦ Σταυροῦ ἕν καί τῆς Ἁγίας δύο).

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα (Κεφ. ιε΄22-27, ιστ΄ 1).

Ἐξῆρε Μωϋσῆς τοὺς υἱούς Ἰσραὴλ ἀπὸ θαλάσσης Ἐρυθρᾶς καὶ ἤγαγεν αὐτοὺς εἰς τὴν ἔρημον Σούρ· καὶ

ἐπορεύοντο τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ καὶ οὐχ εὕρισκον ὕδωρ ὥστε πιεῖν. Ἦλθον δὲ εἰς Μερράν καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἐκ Μερρᾶς· πικρὸν γὰρ ἦν· διὰ τοῦτο ἐπωνομάσθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου Πικρία. Καὶ διεγόγγυζεν ὁ λαὸς κατὰ Μωϋσῆ λέγοντες· τὶ πιώμεθα; Ἐβόησε δὲ Μωϋσῆς πρὸς Κύριον καὶ ἔδειξεν αὐτῷ Κύριος ξύλον καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ καὶ ἐγλυκάνθη τὸ ὕδωρ· ἐκεῖ ἔθετο αὐτῷ δικαιώματα καὶ κρίσεις καὶ ἐκεῖ αὐτὸν ἐπείραζε καὶ εἶπεν· ἐὰν ἀκοῇ ἀκούσῃ Κυρίου τοῦ Θεοῦ σου καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιήσῃς καὶ ἐνωτίσῃ τὰς ἐντολὰς αὐτοῦ καὶ φυλάξῃς πάντα τὰ δικαιώματα αὐτοῦ, πᾶσαν νόσον ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις, οὐκ ἐπάξω ἐπὶ σέ· ἐγὼ γὰρ εἰμι Κύριος ὁ ἰώμενός σε. Καὶ ἦλθον εἰς Αἰλείμ καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων καὶ ἑβδομήκοντα στελέχη φοινίκων, παρενέβαλον δὲ ἐκεῖ παρὰ τὰ ὕδατα. Ἀπῆραν δὲ ἐξ Αἰλείμ καὶ ἦλθε πᾶσα ἡ συναγωγὴ υἱῶν Ἰσραὴλ εἰς τὴν ἔρημον Σίν, ὃ ἐστιν, ἀναμέσον Αἰλείμ, καὶ ἀναμέσον Σινᾶ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. λα΄ 10-31).

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ᾽ αὐτῇ ἡ καρδία τοὺ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ

νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν πού χρονίζῃ· πάντες γὰρ οἱ παρ' αὐτῆς ἐνδεδυμένοι βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ ἐγένετο ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. ιδ΄ 1-8, 24-27).

Σοφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους, ἡ δὲ ἄφρων κατέσκαψε ταῖς χερσὶν αὐτῆς. Ὁ πορευόμενος ὀρθῶς φοβεῖται τὸν Κύριον, ὁ δὲ σκολιάζων ταῖς ὁδοῖς αὐτοῦ ἀτιμασθήσεται. Ἐκ στόματος ἀφρόνων βακτηρία ὕβρεως, χείλη δὲ σοφῶν φυλάσσει αὐτούς. Οὗ μή εἰσι βόες, φάτναι καθαραί· οὗ δὲ πολλὰ γεννήματα, φανερὰ βοὸς ἰσχύς. Μάρτυς πιστὸς οὐ ψεύδεται, ἐκκαίει δὲ ψευδῆ μάρτυς ἄδικος. Ζητήσεις σοφίαν παρὰ κακοῖς καὶ οὐχ εὑρήσεις, αἴσθησις δὲ παρὰ

φρονίμοις εὐχερής. Πάντα ἐναντία ἀνδρὶ ἄφρονι, ὅπλα δὲ αἰσθήσεως χείλη σοφά. Σοφία πανούργων ἐπιγνώσεται τὰς ὁδοὺς αὐτῶν, ἄνοια δὲ ἀφρόνων ἐν πλάνῃ. Στέφανος σοφῶν πλοῦτος αὐτῶν, ἡ δὲ διατριβὴ ἀφρόνων κακή. Ῥύσεται ἐκ κακῶν ψυχὴν μάρτυς πιστός, ἐκκαίει δὲ ψεύδη δόλιος. Ἐν φόβῳ Κυρίου ἐλπὶς ἰσχύος, τοῖς δὲ τέκνοις αὐτοῦ καταλείπει ἔρεισμα. Πρόσταγμα Κυρίου πηγὴ ζωῆς, ποιεῖ δὲ ἐκκλίνειν ἐκ παγίδος θανάτου.

Εἰς τὴν Λιτὴν, Ἰδιόμελα.

Ἦχος α΄.

Τὴν πάντιμον ἀμνάδα τοῦ Κυρίου ὑμνήσωμεν,* τοῦ Πόντου τὸ καύχημα,* τῆς οἰκουμένης τὸ σεμνολόγημα,* ἡμῶν δὲ προστάτιν καὶ ἔφορον.* Αὕτη τὸ γένος τῶν γυναικῶν ἀνύψωσεν·* ἐκ γένους γὰρ λαμπροῦ καταγομένη,* πλούτου, δόξης καὶ τέκνων ὑπεριδοῦσα,* αὐτόκλητος ἔδραμε* καὶ παρρησίᾳ ὡμολόγησε* τὴν Ὀρθόδοξον πίστιν* καὶ μετὰ πολυώδυνα βάσανα* εἰς οὐρανούς μετέστη·* αὐτὴν ἱκετεύσωμεν,* ἵνα πρεσβεύῃ τῷ Κυρίῳ* ἐλεηθῆναι τὰς ψυχάς ἡμῶν.

Ἦχος β΄.

Δεῦτε τῶν πιστῶν ὁ σύλλογος,* Κασσάνδραν ἀνυμνήσωμεν* τὴν τῶν Νεομαρτύρων καλλονήν,* ἥτις ὡς ἀκαθαίρετος πύργος* ταῖς προσβολαῖς τοῦ ἐχθροῦ* οὐκ ἐσαλεύθη ὅλως,* ἀλλ’ ἀήττητος ἔμεινε.* Δεῦτε καὶ

ἡμεῖς πρὸς αὐτήν ἐκβοήσωμεν·* ὢ Κασσάνδρα καρτερόψυχε,* δίδου καὶ ἡμῖν τοῖς τιμῶσι σε* ἀνδρείαν ἵνα ἀντιστῶμεν* ταῖς προσβολαῖς τοῦ ἀντικειμένου* καὶ ἐπιτύχωμεν τῶν αἰωνίων ἀγαθῶν* ταῖς ἱκεσίαις σου.

Ἦχος γ΄.

Ὅλη καλή,* ὅλη ἄμωμος ἀνεδείχθης,* θεομακάριστε,* ὅλην σεαυτὴν ἀναθέσας τῷ Κυρίῳ,* Κασσάνδρα παμμακάριστε.* Τὶς δυνήσεται ἐγκωμιάσαι κατ' ἀξίαν,* ὢ μακαρία,* τὴν ὑπομονήν σου ἐν τῷ αἰκίζεσθαι τῷ σώματι καὶ τὴν καρτερίαν;* Ἐν ὅλῳ γάρ τῷ μαρτυρίῳ σου* τὸ ὄμμα τοῦ πνεύματος ἔσχες πρός τὸν Ὕψιστον,* τὸν ἔχοντα τὴν ἐξουσίαν δοξάσαι σε* εἰς τὰ ἐπουράνια σκηνώματα*, ἔνθα πάντων ἐστίν εὐφραι-νομένων ἡ κατοικία·* ὅθεν ἱκετεύομεν σε ἵνα πρεσβεύῃς* εἰς τὸ σωθῆναι τὰς ψυχάς ἡμῶν.

Ἦχος δ΄.

Χάριτός τε καί δυνάμεως πεπληρωμένη ὡράθης* παμμακάριστε Κασσάνδρα·* σωφροσύνης γάρ τῷ κάλλει κεκοσμημένη* γέγονας Νεομαρτύρων τὸ καύχημα·* ὅθεν ἡμεῖς, οἱ τὴν σὴν μνήμην ἑορτάζοντες,* τὴν προστασίαν σου ἐκδεχόμεθα* καὶ τήν πρεσβείαν σου πρὸς Κύριον,* ὅπως εὕρωμεν τῶν παραπτωμάτων τὴν ἄφεσιν.

Δόξα. Τῆς Ἁγίας. Ἦχος πλ. α΄.

Ἀραμένη τὸν Σταυρόν ἐπ᾽ ὤμων σου* καί ἀρνησαμένη ἑαυτὴν καὶ τῶν οἰκείων ἁπάντων,* αὐτόκλητος ἔδραμες καὶ ἔστης ἐνώπιον τοῦ τυράννου,* Κασσάνδρα θειοτάτη.* Μετὰ αἰκισμοὺς δέ καὶ πολυώδυνα βάσανα,* τελευταῖον διεμελίσθης ἐν μέσῳ δύο κυπαρίσσων* καὶ ἡ ἁγία σου ψυχὴ ἀνέπτη είς οὐρανούς.* Ὅθεν ἡ τῶν Ὀρθοδόξων πληθύς,* μέλος ἐναρμόνιον κροτοῦντες,* τήν καλλιμάρτυρα ἐγκωμιάσωμεν λέγοντες·* χαίροις τῶν Νεομαρτύρων ἡ καλλονή* καὶ τῶν Ὀρθοδόξων, Κασσάνδρα, τὸ ἀγαλλίαμα·* ῥῦσαι ἡμᾶς παντοίων περιστάσεων* καὶ πρέσβευε ὑπὲρ ἡμῶν τῶν τελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Τοῦ Σταυροῦ. Ἦχος δ΄. Ἀνατολίου.

Τοῦ Τιμίου Σταυροῦ Χριστέ τήν ἐνέργειαν,* προδιατυπώσας Μωϋσῆς* ἐτροπώσατο τόν ἐνάντιον Ἀμαλήκ* ἐν τῇ ἐρήμῳ Σινᾷ·* ὅτε γάρ ἐφήπλου τάς χεῖρας,* Σταυροῦ τόν τύπον ποιῶν,* ἐνίσχυεν ὁ λαός.* Νυνί τῶν πραγμάτων ἡ ἔκβασις εἰς ἡμᾶς πεπλήρωται·* σήμερον Σταυρός ὑψοῦται* καί δαίμονες φυγαδεύονται·* σήμερον ἡ κτίσις πᾶσα* ἐκ τῆς φθορᾶς ἠλευθέρωται·* πάντα γάρ διά Σταυροῦ* ἐπέλαμψεν ἡμῖν τά χαρίσματα.* Διό γηθόμενοι πάντες* προσπίπτομέν Σοι λέγοντες·* ὡς ἐμεγαλύνθη τά ἔργα Σου,* Κύριε δόξα Σοι.

Εἰς τὸν Στίχον. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τὴν Νεομάρτυρα πάντες* ἀνευφημήσωμεν,* τὴν καθαίρουσαν πᾶσαν* τοῦ ἐχθροῦ τὴν μανίαν,* ἀθλήσασα νομίμως καὶ αἰκισμούς* ὑπομείνασα· χαίρουσα* νῦν δὲ χορεύει ἀπαύστως ἐν οὐρανοῖς* καὶ πρεσβεύει ὑπὲρ πάντων ἡμῶν.

Στ. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Νόες ἐξέστησαν ὄντως* ἐν τῇ ἀθλήσει σου,* ὁρῶντες σε ἐν μέσῳ* μελισθεῖσαν τῶν κλάδων·* τὸ πνεῦμα σου δέ ἄνω Μαρτύρων χοροί,* ὦ Κασσάνδρα, προσέφερον,* ἐν τῇ χειρί τοῦ Δεσπότου, Ὅν ἐκτενῶς* ἐκδυσώπει ὑπὲρ πάντων ἡμῶν.

Στ. *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθηνε τὰ διαβή-ματά μου.*

Ἐμμανουὴλ ὁ υἱός σου* ἐξελιπάρει σε* τοῦ μεῖναι ἐν τῷ οἴκῳ,* ἀλλ' ἐσὺ οὐκ ἐπείσθης* καὶ ἔδραμες αὐτόκλητος δοῦναι σαὐτὴν* εἰς ἀνήκουστα βάσανα,* διὰ τὸν ἔνθεον ἔρωτα πρὸς Θεὸν,* ὦ Κασσάνδρα ἀξιάγαστε.

Δόξα. Τῆς Ἁγίας. Ἦχος πλ. δ΄.

Τὴν τῶν Νεομαρτύρων καλλονήν* καὶ τῶν Δικαίων ἁπάντων τὸ καύχημα,* Κασσάνδραν τὴν Ἁγίαν τιμήσωμεν,* ἥτις ἀνδρικῷ τῷ φρονήματι* πρὸς τοὺς

ἀγῶνας ἐχώρησε* καὶ μαστιζομένη ὑπὸ τῶν τυράννων ἀπηνῶς* τὸν Κύριον τῆς Δόξης ἐπεκαλεῖτο,* ἵνα ἐνδυναμώσῃ αὐτήν·* ὅθεν γενναιοφρόνως ἀθλήσασα* τὸν ἄφθαρτον στέφανον ἀπείληφε* παρὰ τῆς δεξιᾶς τοῦ Σωτῆρος Χριστοῦ.* Διὸ καὶ ἡμεῖς αὐτήν ἱκετεύσωμεν λέγοντες·* ὦ Κασσάνδρα παναοίδιμε,* πρέσβευε διηνεκῶς τῷ Κυρίῳ,* ἵνα σώσῃ τὰς ψυχὰς ὑμῶν.

Καὶ νῦν. Τοῦ Σταυροῦ. Ἦχος πλ. δ΄.

Ἡ φωνὴ τοῦ Προφήτου Σου Μωϋσέως, ὁ Θεός,* πεπλήρωται ἡ λέγουσα·* ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην* ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν.* Σήμερον Σταυρὸς ὑψοῦται* καὶ κόσμος ἐκ πλάνης ἐλευθεροῦται·* σήμερον τοῦ Χριστοῦ ἡ Ἀνάστασις ἐγκαινίζεται* καὶ τὰ πέρατα τῆς γῆς ἀγάλλονται,* ἐν κυμβάλοις Δαυϊτικοῖς* ὕμνον Σοί προσφέροντα καὶ λέγοντα·* εἰργάσω σωτηρίαν ἐν μέσῳ τῆς γῆς ὁ Θεός,* Σταυρὸν καὶ τὴν Ἀνάστασιν,* δι᾽ ὧν ἡμᾶς ἔσωσας Ἀγαθὲ καὶ Φιλάνθρωπε·* Παντοδύναμε Κύριε δόξα Σοι.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκια.

Τοῦ Σταυροῦ. Ἦχος α΄.

Σῶσον, Κύριε, τόν λαόν Σου* καί εὐλόγησον* τήν κληρονομίαν Σου,* νίκας τοῖς βασιλεῦσι* κατά βαρβάρων δωρούμενος* καί τό Σόν φυλάττων,* διά τοῦ Σταυροῦ Σου πολίτευμα.

Τῆς Ἁγίας. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὴν ὑπερλάμπουσαν* χάριν, ἀοίδιμε,* τοῦ θείου σκήνους σου,* Μάρτυς πολύαθλε,* ἀπολαύοντες οἱ πιστοί* βοῶμεν σοι, ὦ Κασσάνδρα·* ἅπαν οὖν ἐγκώμιον* τῇ ψυχῇ σου κατάλληλον* δέχου ἐκ τῶν δούλων σου,* τῶν πρός σέ ἐκβοώντων νῦν·* Μαρτύρων ἐγκαλλώπισμα θεῖον* πρέσβευε ὑπὲρ τῶν ἀνυμνούντων σε.

Καί πάλιν τοῦ Σταυροῦ.

Ἀπόλυσις.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Ὁλόφωτε λαμπάς* τοῦ Κυρίου τῆς δόξης* ἐφώτισας, σεμνή, τῶν ἀπίστων τὰ σκότη·* λαμπρῶς γὰρ ὡμολόγησας* τοῦ Κυρίου τὸ ὄνομα* καὶ ἐξέχεας* προθύμως, πάνσεμνε Μῆτερ,* σόν πολύτιμον* αἷμα, Κασσάνδρα, δραμοῦσα* Χριστῷ Ὅν ἐπόθησας.

Δόξα. Καί νῦν. Τοῦ Σταυροῦ. Ὅμοιον.

Ἡ φύσις τῶν βροτῶν* συνεόρταζε πᾶσα* καί σκίρτα μυστικῶς·* τοῦ Σταυροῦ γάρ τό ξύλον* προτίθεται σήμερον,* ἰατρεῖον ἀδάπανον* τοῖς προστρέχουσι* μετ’ εὐλαβείας καί πόθου* καί

δοξάζουσι* τόν ἐν αὐτῷ προσπαγέντα,* Χριστόν τόν φιλάνθρωπον.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον. Ἀντωνίου Μάρκου.

Τήν ἁγίαν μνήμην σου* ἐν τῷ Ναῷ συνελθόντες* τῆς Παρθένου Σουμελᾶ* τιμῶμεν Μάρτυς Κασσάνδρα,* τῆς Τραπεζοῦντος κινάμωμον* καί τῶν Ποντίων* ἁπάντων τό καύχημα.

Δόξα. Καὶ νῦν. Τοῦ Σταυροῦ. Ὅμοιον.

Εὐφροσύνης πρόξενος* τῇ νῦν ἡμέρᾳ,* τοῦ Σταυροῦ ἡ Πρόοδος·* καθαγιάζει γάρ ἡμῶν* ψυχάς ὁμοῦ καί τά σώματα* τῶν προσκυνούντων* αὐτόν μετά πίστεως.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄. Τὸ προσταχθέν μυστικῶς. Ἀντωνίου Μάρκου.

Τήν σταυροφόρον τοῦ Κυρίου Νεομάρτυρα,* τήν ἐν βασάνοις καί θανάτῳ ὁμολογήσασαν* τήν Χριστοῦ θεότητα πρό τῶν ἐναντίων,* Κασσάνδραν εὐφημήσωμεν οἱ πίστοι,* πρό λάρνακος ἐστῶτες μετά χαρᾶς,* ὅτι ταύτην κατέχομεν* ἐν τῆς Παρθένου Ναῷ* τῆς Σουμελᾶ κραυγάζοντες·* χαίροις Μάρτυς θεόστεπτε.

Δόξα.  Καί νῦν. Τοῦ Σταυροῦ. Ὅμοιον.

Προδιετύπου μυστικῶς πάλαι τῷ χρόνῳ,* ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ Σταυροῦ τόν τύπον,* ὅς τάς χεῖρας ἐξέτεινε σταυροφανῶς Σωτήρ μου·* καί ἔστη ὁ ἥλιος ἕως ἐχθρούς* ἀνεῖλεν, ἀνθισταμένους Σοί τῷ Θεῷ·* νῦν δέ οὗτος ἐσκότισται* ἐπί Σταυροῦ Σε ὁρῶν,* θανάτου κράτος λύοντα* καί τον Ἅδην σκυλεύοντα.

Οἱ Ἀναβαθμοί· τὸ α´ Ἀντίφωνον τοῦ δ´ ἤχου.

Προκείμενον. *Θαυμαστὸς ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν (Κεφ. ιβ΄ 8 – 12).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν Ἀγγέλων τοῦ Θεοῦ· ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν Ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι, οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγάς καὶ τὰς ἀρχάς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἤ τι ἀπολογήσησθε, ἤ τι εἴπητε· τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.

Ὁ Ν´ (50) Ψαλμός.

Δόξα. Ταῖς τῆς Ἀθληφόρου* πρεσβείαις, Ἐλεῆμον,* ἐξάλειψον τὰ πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου* πρεσβείαις, Ἐλεῆμον,* ἐξάλειψον τὰ πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Εἶτα τὸ Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός…*

Φερωνύμως ἐκλήθης τῆς ἀνδρείας ἐπώνυμος* καὶ πρὸς ἀνδρικούς ἀγῶνας ἐχώρησας,* Κασσάνδρα πολύαθλε·* τῷ γὰρ θείῳ ἒρωτι τρωθεῖσα* κατέλιπες δόξαν πρόσκαιρον* καὶ τῷ Χριστῷ ἠκολούθησας* καὶ πρὸς ζωὴν τὴν ἀμείνω παραδόξως μεταβέβηκας·* διὸ ἐν τῇ ἐνδόξῳ σου μνήμῃ,* παρρησίαν ἔχουσα πρὸς Κύριον,* ἱκέτευε σωθῆναι τὰς ψυχάς ἡμῶν.

Οἱ Κανόνες· τοῦ Σταυροῦ καί τῆς Ἁγίας, ἄνευ ἀκροστιχίδος.

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἀνδρείαν ὑπάρχουσαν τῇ ψυχῇ* τὴν Κασσάνδραν πὰντας* ἀνυμνῆσαι πανευλαβῶς* ἀξίωσον Κύριε Σοὺς δούλους,* ἐν ταπεινώσει αἰτοῦντας τὴν χάριν Σου.

Ὑμνοῦμεν σε οἱ δοῦλοι σου ἀγαθή,* καὶ ἐπιζητοῦμεν* σὴν βοήθειαν ἐν δεινοῖς·* δυνάμωσον μάκαρ ἡμᾶς πάντας,* ἵνα εἰς τέλος εὑρεῖν ἡμᾶς ἔλεος.

Ἀξίωσον πάντας σοὺς ὑμνητάς,* πανένδοξε κόρη,* τῶν Ἀγγέλων ὁ στολισμός,* νοός τὴν ἔπαρσιν καὶ ὄγκον,* ἀποτινᾶξαι Κασσάνδρα, ὡς τάχιστα.

Θεοτοκίον.

Ἰσχύεις πρεσβείαις Σου πρὸς Χριστόν,* Ἁγνὴ Θεοτόκε,* ὡς κυήσασα ἐν γαστρί* Θεὸν τῶν ἁπάντων, Ὅν δυσώπει* ὑπέρ τῶν πίστει τιμώντων Σε, Ἄχραντε.

ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἠξιώθης, Ἁγία, τῆς τοῦ Χριστοῦ χάριτος* καὶ τοῦ μαρτυρίου τῆς δόξης* καὶ ἁγιότητος·* ὅθεν ἱκέτευε* τὸν Ποιητήν τῶν ἁπάντων* δοῦναι μοι τὴν ἄφεσιν,* Μάρτυς πανένδοξε.

Αὐτοκλήτως χωρήσας πρὸς Ἀθλητῶν σκάμματα,* τῶν ἀρνησιχρίστων τὸν μῶμον* ἦρας, θεόφιλε·* διό στερέωσον* τῇ μεσιτεία σου Μάρτυς,* πίστιν τὴν Ὀρθόδοξον* τῶν προσιόντών σοι.

Ἀληθῶς ἀνεδείχθης τῆς ἀρετῆς πρότυπον* καί Μαρτύρων κλέος καὶ δόξα καί τὸ ὑπόδειγμα,* Κασσάνδρα ἔνδοξε,* καὶ ἀρρωγός δυστυχούντων* καί ἡμῶν στερέωμα* καί καταφύγιον.

Θεοτοκίον.

Ἀποῤῥήτως ἐν μήτρᾳ τὸν τοῦ Πατρὸς σύνθρονον* Λόγον σαρκωθέντα ἀσπόρως,* Ἁγνή, χωρήσασα*

παθῶν κατάργησον* τὰς νοσηρὰς διαθέσεις* καὶ τὸν νοῦν μου ὕψωσον* πρὸς τὰ οὐράνια.

Τό Κοντάκιον καί ὁ Οἶκος τοῦ Σταυροῦ.

Κοντάκιον. Ἦχος δ΄. Αὐτόμελον.

Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ ἑκουσίως,* τῇ ἐπωνύμῳ Σου καινῇ πολιτείᾳ,* τούς οἰκτιρμούς Σου δώρησαι, Χριστέ ὁ Θεός·* εὔφρανον ἐν τῇ δυνάμει Σου* τούς πιστούς βασιλεῖς ἡμῶν,* νίκας χορηγῶν αὐτοῖς κατά τῶν πολεμίων·* τήν συμμαχίαν ἔχοιεν τήν Σήν,* ὅπλον εἰρήνης,* ἀήττητον τρόπαιον.

Ὁ Οἶκος.

Ὁ μετά τρίτον οὐρανόν ἀρθείς ἐν Παραδείσῳ* καί ῥήματα τά ἄρρητα καί θεῖα,* ἅ οὐκ ἐξόν γλώσσαις λαλεῖν,* τί τοῖς Γαλάταις γράφει,* ὡς ἐρασταί τῶν Γραφῶν* ἀνέγνωτε καί ἔγνωτε;* Ἐμοί, φησί, καυχᾶσθαι μή γένοιτο,* πλήν εἰ μή ἐν μόνῳ τῷ Σταυρῷ τῷ τοῦ Κυρίου,* ἐν ᾧ παθών ἔκτεινε τά πάθη.* Αὐτόν οὖν καί ἡμεῖς βεβαίως κρατῶμεν,* τοῦ Κυρίου τόν Σταυρόν, καύχημα πάντες·* ἔστι γάρ σωτήριον ἡμῖν τοῦτο τό ξύλον,* ὅπλον εἰρήνης,* ἀήττητον τρόπαιον.

Κάθισμα τῆς Ἁγίας. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγησαν ὁμοῦ* πάντες Ἁγίων οἱ χοροί* καὶ εὐφράνθησαν πιστοὶ* σῇ θαυμαστῇ ὑπομονῇ* καὶ παντοδύναμον χάριν ἐν μαρτυρίῳ·* ὅθεν ὁ Θεός* σὲ

ἐδόξασε,* πύλην οὐρανοῦ σοὶ ἠνέωξε* καὶ ἐν τιμῇ ἐδέξατό σε, Κασσάνδρα,* ἐν οὐρανίοις σκηνώμασιν,* ἵνα πρεσβεύῃς* ἀκαταπαύστως* εἰς τὸ σωθῆναι τὰς ψυχάς ἡμῶν.

Δόξα. Καὶ νῦν. Τοῦ Σταυροῦ. Ἦχος πλ. β΄.

Ὁ Σταυρός Σου, Κύριε, ἡγίασται·* ἐν αὐτῷ γάρ γίνονται ἰάματα,* τοῖς ἀσθενοῦσιν ἐν ἁμαρτίαις.* Δι' αὐτοῦ Σοί προσπίπτομεν,* ἐλέησον ἡμᾶς.

ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.

Στεναγμοὺς τῆς καρδίας μου,* εἰς χαρὰν φαιδράν τε καὶ ἀναφαίρετον,* σαῖς πρεσβείαις μεταποίησον,* Μάρτυς τοῦ Κυρίου ἀξιάγαστε.

Ἀποδίωξον δέομαι* τῇ θερμῇ πρεσβείᾳ σου, ἀξιάγαστε,* τῶν παθῶν μου τὴν σκοτόμαιναν* καὶ πρὸς ὅρμον μετανοίας με εἰσάγαγε.

Σαῖς λιταῖς πρὸς τὸν Κύριον,* ὦ Κασσάνδρα Μῆτερ, ἡμᾶς περίσκεπε* ἀπό πάσης περιστάσεως* καὶ ἐχθρῶν ψυχῆς τε καὶ τοῦ σώματος.

Θεοτοκίον.

Ἁγιάσματος Δέσποινα,* κιβωτὸς δειχθεῖσα τῷ θείῳ Τόκῳ Σου,* ταῖς πρεσβείαις Σου δυσώπησον* τὴν ψυχήν μου σῶσαι ὡς φιλάνθρωπος.

Ὠδὴ ε´. Φώτισον ἡμᾶς.

Ἤστραψας ἐν γῇ,* ὡς λαμπὰς τοῦ θείου Πνεύματος,* διαλύουσα τό σκότος τῶν παθῶν* καὶ ἀγάπης ἀνατέλουσα τὴν ἔλλαμψιν.

Ἵλεων ἡμῖν* τὸν Δεσπότην σου ἀπέργασαι,* ἀενάοις προσευχαῖς σου πρὸς Αὐτὸν,* Ἀθληφόρε τοῦ Χριστοῦ, Κασσάνδρα ἔνδοξε.

Ἴδε τὴν ἐμὴν* ἀθυμίαν καὶ ἀμέλειαν,* Νεομάρτυς τοῦ Κυρίου ὦ σεμνή* καὶ θεράπευσον αὐτὰς ταῖς ἱκεσίαις σου.

Θεοτοκίον.

Μήτηρ τῆς ζωῆς* ἀνεδείχθης Παναμώμητε·* διὸ νέκρωσον παθῶν μου τὰς ὁρμὰς* καὶ τὸν νοῦν μου πρὸς ἐγρήγορσιν ἀνάστησον.

Ὠδὴ ς´. Τὴν δέησιν ἐκχεῶ.

Ἐπίβλεψον* ἱλαρῷ σου ὄμματι* ἐφ᾽ ἡμᾶς τοὺς σοὺς δούλους Ἁγία* καὶ τὰς ὀδύνας ἡμῶν καὶ τὰς θλίψεις* ἐπικουφίζουσα τάχος ἀφάνισον* καὶ ἔμπλησον ἡμᾶς χαρᾶς,* εὐφροσύνης καὶ θείας ἐλάμψεως.

Πτερώσασα* πρὸς Θεὸν τὸ φρόνημα,* ἀπηρνήθης τὰ ἐπίκηρα κόσμου* καὶ τελευτήν τῶν Μαρτύρων ποθοῦσα,* καθωμολόγεις Χριστόν ὡς Θεάνθρωπον·*

διὸ ἐτύθης θαυμαστῶς,* ὡς ἀρνίον Χριστοῦ, πανσεβάσμιε.

Ἰάτρευσον* τὴν πληγωθεῖσαν ψυχήν μου,* ταῖς ἐφόδοις νοητῶν Αἰθιόπων,* τῷ δραστικῷ σου φαρμάκῳ Κασσάνδρα,* τῶν ὁλοθέρμων λιτῶν σου πρὸς Κύριον,* ὡς παρρησίαν ἰσχυράν* κεκτημένη, παμμάκαρ θεόπνευστε.

Θεοτοκίον.

Παρθένε* τὸν Ἰησοῦν ἐγέννησας,* ὑπὲρ φύσιν τε καὶ λόγον ὡς βρέφος* καὶ ἐν χερσί τὸν Θεὸν ἠγκαλίσω* καὶ ἐκ μαζῶν Σου Αὐτόν ἐγαλούχησας·* διὸ ὡς Μήτηρ τοῦ Θεοῦ,* ὑπέρ πάντων Αὐτόν καθικέτευε.

Κοντάκιον καί Οἶκος τῆς Ἁγίας.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὢ τῆς πολλῆς σου, πρὸς Χριστὸν παρρησίας* καὶ τῆς ἀπείρου σου, σεμνὴ, καρτερίας,* δι’ ἧς καί κατήσχυνας τὸν πάλαι Ἰσμαήλ* καὶ κατεξολόθρευσας* τὰς βουλὰς τῶν ἀπίστων* τῇ ἐνδόξῳ στάσει σου,* ὦ Κασσάνδρα παμμάκαρ·* διὸ αἰτοῦμεν Μάρτυς τοῦ Χριστοῦ* σκέπε σοὺς δούλους* τῇ θείᾳ πρεσβείᾳ σου.

Ὁ Οἶκος.

Ἐκ γένους ὑψηλοῦ, ὦ Κασσάνδρα, ἐφύεις·* ὑψηλὸν ὅθεν τὸ φρόνημα ἔχουσα* ἄλλοις παρέδωκας

τὰ τέκνα σου* καὶ αὐτόκλητος ἔδραμες καί ἔστης θαρραλέως* πρὸ τοῦ βήματος τοῦ τυράννου.* Τὰ μαρτύρια ἅ ὑπέστης τὶς διηγήσεται;* Γυμνὴ αἰκιζομένη ἀγρίως* μετὰ μεγίστης ὑπομονῆς ὑπέμεινας·* μετὰ ταῦτα δὲ κρεμασθεῖσα ἐν μέσῳ δύο δένδρων* ἐμελίσθης εἰς δύο* καί Ἄγγελοι παρέλαβον τὴν ἁγίαν ψυχήν σου·* διὸ αἰτοῦμεν σε, Μάρτυς τοῦ Χριστοῦ,* σκέπε σοὺς δούλους* τῇ θείᾳ πρεσβείᾳ σου.

Συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς Ἁγίας ἐνδόξου Νεομάρτυρος Κασσάνδρας τῆς Τραπεζουντίας, μαρτυρησάσης ἐν ἔτει ᾳχοζ (1677).

Στίχοι.

*Ἡ Τραπεζοῦς χαίρει καὶ σκιρτᾷ, Κασσάνδρα, τῇ σῇ γεννήσει,*

*ἡμεῖς δὲ εὐφραινόμεθα σκιρτῶντες τῇ σῇ ἀθλήσει.*

*Τῇ πρώτῃ Αὐγούστου Κασσάνδρα ἐτελειώθη.*

Ἕτεροι. Ἀντωνίου Μάρκου.

*Μέλανος Πόντου πάλευκον, ῥόδον πεφοινιγμένον*

*τοῖς μαρτυρίου αἵμασι, ὑπέρ Χριστοῦ σου, Μῆτερ,*

*ὤφθης Κασσάνδρα, καύχημα τοῦ γένους τῶν Ῥωμαίων.*

Ταῖς αὐτῆς ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὁλοθύμως ποθοῦσα* μαρτυρίου τὴν τρίβον, Κασσάνδρα ἔνδοξε,* τῆς Ἄγαρ τὰς βασάνους,* ὡς δρόσον ἐλογίσω, ἀνακράζουσα δ᾽ ἔμελπες·* ὁ τῶν Πατέρων ἡμῶν* Θεὸς, εὐλογητὸς εἶ.

Ὑπὲρ πάντων δυσώπει* τὸν Σωτῆρα, θεόφρον* Μάρτυς πανένδοξε,* ῥυσθῆναι τῶν πταισμάτων* καὶ πάσης ἀλγηδόνος,* ἵνα πίστει κραυγάζομεν·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Ἐν χορεία Μαρτύρων* ἠριθμήθης Κασσάνδρα,* Μάρτυς ὑπέρτιμε·* διάσωζε σοὺς δούλους* δαιμόνων ἐπηρείας* τούς ἐν πίστει κραυγάζοντας·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Θεοτοκίον.

Ἡ Πανάμωμος Κόρη,* ἡ τεκοῦσα τὸν Κτίστην καί Ποιητὴν τοῦ παντός,* ἐκ πάσης ἀνομίας* καί ῥύπου τῶν πταισμάτων* τὴν ψυχήν μου καθάρισον,* ἵνα ὑμνῶ Σε ἀεὶ, τὴν Κεχαριτωμένην.

Ὠδή η΄. Τὸν Βασιλέα.

Τό τῆς ψυχῆς μου* τὸ ἀσθενὲς, μακαρία,* ἐνδυνάμωσον τῇ σῇ ἐπιστασίᾳ,* ἵνα σὲ δοξάζω,* Κασσάνδρα πανολβία.

Γαλήνην Μῆτερ* τοῖς ἐν θαλάσσῃ τοῦ βίου* κινδυνεύουσιν ἐξαίτει οὐρανόθεν,* τούτους κυβερνῶσα* πρὸς ὅρμον σωτηρίας.

Εὐωδιάζει* τὸ Λείψανόν σου τὸ θεῖον* καί φωτίζει τοὺς ἐν πίστει προσκυνοῦντας·* διὸ εὐχαριστοῦμέν* σε μάκαρ εἰς αἰῶνας.

Θεοτοκίον.

Ἁγιοσύνης, περιφανέστατε οἶκε,* καθαγίασον ἡμῶν τὰς διανοίας,* τῇ Σῇ μεσιτείᾳ,* Παρθένε Παναγία.

ᾨδή θ΄. Κυρίως Θεοτόκον.

Ῥαδίως, ὦ Κασσάνδρα,* τρίβον τὴν στενοτάτην* τοῦ μαρτυρίου βαδίσασα, ἔνδοξε,* εἰς σκηνὰς αἰωνίους* χαίρουσα ἔδραμες.

Δικαίων αἱ χορεῖαι* καὶ τῶν Νεομαρτύρων* καὶ τῶν Ἀγγέλων οἱ δῆμοι σκιρτῶσιν ὁμοῦ,* ὦ Κασσάνδρα, τὴν μνήμην σου ἑορτάζοντες.

Τὰ θεῖα Λείψανά σου,* πέμποντα εὐωδίαν,* καθαγιάζουσι τούς πόθῳ προστρέχοντας* καὶ αἰτουμένους, ὦ Μάρτυς,* τὴν σὴν βοήθειαν.

Θεοτοκίον.

Σοὶ πρέπει κατ’ ἀξίαν* τῆς δόξης ἡ πληρότης* καὶ Σοὶ τὸ χαῖρε βοῶμεν, Ἁγνή,* ὡς τῆς χαρᾶς τῆς ἀλήκτου πλῆρες κεφάλαιον.

Καταβασίαι. Σταυρόν χαράξας.

Ἐξαποστειλάρια.

Τῆς Ἁγίας. Ἦχος γ΄. Ὁ οὐρανόν τοῖς ἄστροις.

Τῆς Τραπεζοῦντος τὸ κλέος* καὶ τῶν πιστῶν ἡ προσφυγή,* ἡ Νεομάρτυς Κασσάνδρα* πᾶσαν τὴν γῆν φωταγωγεῖ* καὶ ἱκετεύει ἀπαύστως,* ὑπέρ ἡμῶν τὸν Δεσπότην.

Καὶ τὸ τοῦ Σταυροῦ. Ἦχος β΄. Τῶν Μαθητῶν ὁρώντων Σε.

Σταυρός ὁ φύλαξ πάσης τῆς οἰκουμένης·* Σταυρός ἡ ὡραιότης τῆς Ἐκκλησίας·* Σταυρός βασιλέων τό κραταίωμα·* Σταυρός πιστῶν τό στήριγμα·* Σταυρός Ἀγγέλων ἡ δόξα* καί τῶν δαιμόνων τό τραῦμα.

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Σταυροῦ γ΄ (δευτεροῦντες τό πρῶτον) καί τῆς Ἁγίας γ΄ (ὁμοίως δευτεροῦντες τό πρῶτον).

Τοῦ Σταυροῦ. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐν φωναῖς ἀλαλάξωμεν,* ἐν ᾠδαῖς μελῳδήσωμεν,* τόν Σταυρόν τόν Τίμιον* ἀσπαζόμενοι* καί πρός αὐτόν ἐκβοήσωμεν·* Σταυρέ παμσεβάσμιε,* καθαγίασον ἡμῶν* τάς ψυχάς καί τά σώματα* τῇ δυνάμει σου* καί παντοίας ἐκ βλάβης ἐναντίων*

διατήρησον ἀτρώτους* τούς εὐσεβῶς προσκυνοῦντας σε. (Δίς).

Προσελθόντες ἀρύσασθε* μή κενούμενα νάματα,* τοῦ Σταυροῦ τῆς χάριτος προερχόμενα,* ἰδού προκείμενον βλέποντες* τό Ξύλον τό Ἅγιον,* χαρισμάτων τήν πηγήν,* ἀρδομένην ἐν αἵματι* καί τῷ ὕδατι* τοῦ Δεσπότου τῶν ὅλων, τοῦ ἐν τούτῳ* ἑκουσίως ὑψωθέντος* καί τούς βροτούς ἀνυψώσαντος.

Ἐκκλησίας ἑδραίωμα,* μοναζόντων ἀγλάϊσμα,* Ἱερέων καύχημα καί διάσωσμα,* σύ εἶ Σταυρέ πανσεβάσμιε·* διό προσκυνοῦμεν σε* καί καρδίας καί ψυχάς* φωτιζόμεθα σήμερον,* θείᾳ χάριτι,* τοῦ ἐν σοί προσπαγέντος καί τό κράτος* τοῦ δολίου καθελόντος* καί τήν ἀράν ἀφανίσαντος.

Τῆς Ἁγίας. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Θεόφρον Κασσάνδρα ταῖς βαφαῖς* τοῦ οἰκείου αἵματος* τοῦ μαρτυρίου ἐλάμπρυνας* στολὴν τὴν ἔνθεον,* μεθ’ ἧς καί εἰς τὰ ἄνω Βασίλεια* εἰσῆλθες, ἔνδοξε,* καί τῷ θρόνῳ νῦν παρίστασαι* τοῦ Δεσπότου,* Ὅν νῦν καθικέτευε. (Δίς).

Ἐθέλχθης τῷ ἔρωτι Χριστοῦ* καὶ ἐχθρούς ἐμίσησας* Ἐκείνου καὶ τά ἄθεα δόγματα,* Κασσάνδρα ἔνδοξε,* καὶ θεογνωσίας* ἔνθεα διδάγματα,* σοφῶς τοῖς καθορῶσιν ἐδίδαξας* καὶ ἐναθλήσασα* καὶ τὸν δρόμον τελειώσασα,* θείαν πίστιν* ἄμωμον ἐτήρησας.

Ἐσθῆταν ἐξ αἵματος λαμπράν* τοῦ οἰκείου, πάνσεμνε,* ἐστολισμένη ἀνέδραμες* πρὸς τὸν ποθούμενον* Βασιλέα Κτίστιν* τοῦ παντὸς καὶ Κύριον,* πρὸς Τούτου τε τῆς νίκης τὸν στέφανον* ὄντως ἀπείληφας,* σὺν Αὐτῷ νῦν βασιλεύουσα,* πανολβία* Νεομάρτυς ἔνδοξε.

Δόξα. Τῆς Ἁγίας. Ἦχος πλ. δ΄.

Σήμερον ὡς ἔαρ νοητόν* ἡ ἁγία σου μνήμη ἐπέστη,* τὰς ψυχάς ἡμῶν εὐφραίνουσα,* Νεομάρτυς Κασσάνδρα·* ὅθεν εὐλαβῶς συνελθόντες οἱ πιστοί,* τοὺς σοὺς ἄθλους γεραίρομεν* καὶ ἐν ἀγαλλιάσει βοῶμεν σοι·* χαίροις, ἡ τῶν πάλαι Μαρτύρων ἐφάμμιλος καὶ ὁμότροπος,* τοῖς ὑπὲρ Χριστοῦ φανεῖσα ἀγῶσι σου·* χαίροις, τῆς Τραπεζοῦντος τὸ βλάστημα* καὶ τῶν Ἑλλήνων τὸ σεμνολόγημα,* ἡμῶν δὲ ἀρρωγός ἐν ἀνάγκαις καὶ θλίψεσιν·* ὡς ἔχουσα οὖν παρρησίαν πρὸς Χριστόν,* ἀπαύστως ἱκέτευε* ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τοῦ Σταυροῦ. Ἦχος δ΄.

Ὁ συμμαχήσας, Κύριε, τῷ πραοτάτῳ Δαβίδ,* ὑπόταξαι τόν ἀλλόφιλον,* τῷ πιστῷ ἡμῶν βασιλεῖ συμπολέμησον* καί τῷ ὅπλῳ τοῦ Σταυροῦ κατάβαλε τούς ἐχθρούς ἡμῶν·* δεῖξον, Εὔσπλαγχνε, εἰς ἡμᾶς* τά ἀρχαῖα ἐλέη Σου* καί γνώτωσαν ἀληθῶς,* ὅτι Σύ εἶ Θεός* καί ἐν Σοί πεποιθότες νικῶμεν·*

πρεσβευούσης συνήθως τῆς ἀχράντου Σου Μητρός,* δωρηθῆναι ἡμῖν τό μέγα ἔλεος.

Δοξολογία Μεγάλη καί Εἴσοδος μετά τοῦ Τιμίου Σταυροῦ καί ἐφεξῆς τούτου προσκύνησις, κατά τόν τύπον τῆς Γ' Κυριακῆς τῶν Νηστειῶν. Γινομένης δέ τῆς προσκυνήσεως, ψάλλομεν τό Ἰδιόμελον Στιχηρόν τοῦτο.

Ἦχος β'.

Δεῦτε πιστοί* τό ζωοποιόν ξύλον προσκυνήσωμεν,* ἐν ᾧ Χριστός ὁ Βασιλεύς τῆς δόξης,* ἑκουσίως χεῖρας ἐκτείνας,* ὕψωσεν ἡμᾶς εἰς τήν ἀρχαίαν μακαριότητα,* οὕς πρίν ὁ ἐχθρός,* δι' ἡδονῆς συλήσας,* ἐξορίστους Θεοῦ πεποίηκε.* Δεῦτε πιστοί,* ξύλον προσκυνήσωμεν,* δι' οὗ ἠξιώθημεν* τῶν ἀοράτων ἐχθρῶν συντρίβειν τάς κάρας.* Δεῦτε πᾶσαι αἱ πατριαί τῶν ἐθνῶν,* τόν Σταυρόν τοῦ Κυρίου ὕμνοις τιμήσωμεν.* Χαίροις Σταυρέ,* τοῦ πεσόντος Ἀδάμ ἡ τελεία λύτρωσις·* ἐν σοί οἱ πιστότατοι βασιλεῖς ἡμῶν καυχῶνται,* ὡς τῇ σῇ δυνάμει* Ἰσμαηλίτην λαόν κραταιῶς ὑποτάττοντες.* Σέ νῦν μετά φόβου Χριστιανοί ἀσπαζόμενοι,* τόν ἐν σοί προσπαγέντα Θεόν* δοξάζομεν λέγοντες·* Κύριε, ὁ ἐν αὐτῷ προσπαγείς,* ἐλέησον ἡμᾶς* ὡς ἀγαθός καί φιλάνθρωπος.

Πρό τῆς Εὐλογημένης, τό Ἀπολυτίκιον τοῦ Σταυροῦ.

# ΕΝ ΤΗ͂Ι ΘΕΙΑ͂Ι ΛΕΙΤΟΥΡΓΙΑ͂Ι

Τά Τυπικά, οἱ Μακαρισμοί, ἐκ τῆς γ΄ ᾠδῆς τοῦ Κανόνος τοῦ Σταυροῦ Τροπάρια δ΄ καί ἐκ τῆς στ΄ ᾠδῆς τοῦ Κανόνος τῆς Ἁγίας, ἐπίσης Τροπάρια δ΄.

Ἀντί Τρισαγίου.

Τόν Σταυρόν Σου* προσκυνοῦμεν, Δέσποτα,* καί τήν ἁγίαν Σου Ἀνάστασιν* ὑμνοῦμεν καί δοξάζομεν.

Ἀπόστολος τῆς Ἁγίας.

Προκείμενον. Ἦχος δ΄. (Ψαλμός ξζ΄). *Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Ἐν ἐκκλησίαις εὐλογεῖτε τόν Θεόν.*

Πρός Γαλάτας Ἐπιστολῆς Παύλου τό Ἀνάγνωσμα.

Ἀδελφοί, πρό τοῦ ἐλθεῖν τήν πίστιν, ὑπό νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τήν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. Ὥστε ὁ νόμος παιδαγωγός ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· ἐλθούσης δέ τῆς πίστεως, οὐκέτι ὑπό παιδαγωγόν ἐσμέν. Πάντες γάρ υἱοί Θεοῦ ἐστε, διά τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ· ὅσοι γάρ εἰς Χριστόν ἐβαπτίσθητε, Χριστόν ἐνεδύσασθε. Οὐκ ἔνι Ἰουδαῖος, οὐδέ Ἕλλην, οὐκ ἔνι δοῦλος, οὐδέ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καί θῆλυ· πάντες γάρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. Εἰ δέ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραάμ σπέρμα ἐστέ καί κατ’ ἐπαγγελίαν κληρονόμοι. Λέγω δέ, ἐφ’

ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδέν διαφέρει δούλου, κύριος πάντων ὤν, ἀλλά ὑπό ἐπιτρόπους ἐστί καί οἰκονόμους, ἄχρι τῆς προθεσμίας τοῦ πατρός. Οὕτω καί ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπό τά στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δέ ἦλθεν τό πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεός τόν υἱόν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπό νόμον, ἵνα τούς ὑπό νόμον ἐξαγοράσῃ, ἵνα τήν υἱοθεσίαν ἀπολάβωμεν.

Ἀλληλούϊα (γ΄). Ἦχος α΄. (Ψαλμός λθ΄).

Στ. *Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι.*

*Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου καί κατηύθυνε τά διαβήματά μου.*

Εὐαγγέλιον τῆς 1ης Αὐγούστου.

Ἐκ τοῦ κατά Ματθαῖον (Κεφ. ι΄, 16 – 22) .

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· ἰδού, ἐγώ ἀποστέλλω ὑμᾶς, ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς· καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδώσωσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί

λαλήσετε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε. Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Μεγαλυνάρια.

Τοῦ Σταυροῦ.

Ὕδατι νιψώμεθα ἀρετῶν* καρδίας καί χείλη* καί τά πρόσωπα ἀδελφοί,* ἵνα τοῦ Σωτῆρος Σταυρόν τόν ζωηφόρον,* ὅλως κεκαθαρμένοι,* ὑποδεξόμεθα.

Τῆς Ἁγίας.

Χαίροις Τραπεζοῦντος θεῖος βλαστός* καὶ τῶν Ὀρθοδόξων* ἀνεξάντλητος θησαυρός·* χαίροις τῶν Μαρτύρων τὸ καύχημα Κασσάνδρα,* ἡμῶν δὲ τὸ προσφύγιον,* Μάρτυς πανένδοξε.

Ἕτερον. Ἀντωνίου Μάρκου.

Χαίροις τοῦ πανσέπτου τούτου ναοῦ* τοῦ ἐν Ἀσπροπύργῳ,* τῆς Κυρίας τοῦ Σουμελᾶ,* σέμνωμα Κασσάνδρα καί ἱλασμός Ποντίων,* τῶν ᾧδε προσελθόντων* εὑρεῖν ἀνάπαυσιν.

Στίχοι.

Ἀντωνίου Μάρκου.

*Σκέπε Κασσάνδρα τέμενος τῆς Πανάγνου*

*Κόρης Σουμελιωτίσσης, ἔνθα σόν δέμας κεῖται,*

*ἡμῖν εἰς εὐλογίαν, Ἀντώνιος σοί κράζει.*

*Τοῖς δεομένοις δέ σῆς θείας βοηθείας*

*ἐπόμβρησον αὐτοῖς, ἐν πόλῳ εὐφραινομένη.*

